καὶ πορφύρας καὶ κοκκίνου νενησμένου καὶ βύσσου κεκλωσμένης,
εἴκοσι πήχεων τὸ μῆκος, καὶ τὸ ὕψος καὶ τὸ εὖρος πέντε πήχεων
ἐξισούμενον τοῖς ἱστίοις τῆς αὐλῆς· 17καὶ οἱ στῦλοι αὐτῶν τέσσα- 17
ρες, καὶ αἱ βάσεις αὐτῶν τέσσαρες χαλκαῖ, καὶ αἱ ἀγκύλαι αὐτῶν
ἀργυραῖ, καὶ αἱ κεφαλίδες αὐτῶν περιηργυρωμέναι ἀργυρίῳ· 18καὶ 18
αὐτοὶ περιηργυρωμένοι ἀργυρίῳ, καὶ πάντες οἱ πάσσαλοι τῆς αὐ-
λῆς κύκλῳ χαλκοῖ.

19Καὶ αὕτη ἡ σύνταξις τῆς σκηνῆς τοῦ μαρτυρίου, καθὰ συνε- 19
τάγη Μωυσῇ τὴν λειτουργίαν εἶναι τῶν Λευιτῶν διὰ Ιθαμαρ τοῦ
υἱοῦ Ααρων τοῦ ἱερέως. 20καὶ Βεσελεηλ ὁ τοῦ Ουριου ἐκ φυλῆς 20
Ιουδα ἐποίησεν καθὰ συνέταξεν κύριος τῷ Μωυσῇ, 21καὶ Ελιαβ 21
ὁ τοῦ Αχισαμακ ἐκ τῆς φυλῆς Δαν, ὃς ἠρχιτεκτόνησεν τὰ ὑφαν-
τὰ καὶ τὰ ῥαφιδευτὰ καὶ ποικιλτικὰ ὑφᾶναι τῷ κοκκίνῳ καὶ τῇ
βύσσῳ.

1Καὶ ἐποίησεν Βεσελεηλ τὴν κιβωτὸν 2καὶ κατεχρύσωσεν αὐτὴν 38
χρυσίῳ καθαρῷ ἔσωθεν καὶ ἔξωθεν. 3καὶ ἐχώνευσεν αὐτῇ τέσσα- 3
ρας δακτυλίους χρυσοῦς, δύο ἐπὶ τὸ κλίτος τὸ ἓν καὶ δύο ἐπὶ τὸ
κλίτος τὸ δεύτερον, 4εὐρεῖς τοῖς διωστῆρσιν ὥστε αἴρειν αὐτὴν 4
ἐν αὐτοῖς. 5καὶ ἐποίησεν τὸ ἱλαστήριον ἐπάνωθεν τῆς κιβωτοῦ ἐκ 5
χρυσίου 6καὶ τοὺς δύο χερουβιμ χρυσοῦς, 7χερουβ ἕνα ἐπὶ τὸ 6
ἄκρον τοῦ ἱλαστηρίου τὸ ἓν καὶ χερουβ ἕνα ἐπὶ τὸ ἄκρον τὸ δεύ- 7
τερον τοῦ ἱλαστηρίου, 8σκιάζοντα ταῖς πτέρυξιν αὐτῶν ἐπὶ τὸ 8
ἱλαστήριον.

9Καὶ ἐποίησεν τὴν τράπεζαν τὴν προκειμένην ἐκ χρυσίου καθα- 9
ροῦ· 10καὶ ἐχώνευσεν αὐτῇ τέσσαρας δακτυλίους, δύο ἐπὶ τοῦ κλί- 10
τους τοῦ ἑνὸς καὶ δύο ἐπὶ τοῦ κλίτους τοῦ δευτέρου, εὐρεῖς ὥστε
αἴρειν τοῖς διωστῆρσιν ἐν αὐτοῖς. 11καὶ τοὺς διωστῆρας τῆς κιβω- 11
τοῦ καὶ τῆς τραπέζης ἐποίησεν καὶ κατεχρύσωσεν αὐτοὺς χρυσίῳ.
12καὶ ἐποίησεν τὰ σκεύη τῆς τραπέζης, τά τε τρυβλία καὶ τὰς 12
θυίσκας καὶ τοὺς κυάθους καὶ τὰ σπονδεῖα, ἐν οἷς σπείσει ἐν αὐ-
τοῖς, χρυσᾶ.

17 αι $2^0$ > B || 20 ουρι A || 21 αχισαμαχ A | της > A | τα $2^0$ > A | ποικιλτα A

38 1–17: cf. 𝔐 37 1—24 || 1 fin.] + δυο πηχεων και ημισ⟨ο⟩υς το μηκος αυτης και πηχεως και ημισ⟨ο⟩υς το πλατος αυτης και πηχεως και ημισ⟨ο⟩υς το υψος αυτης A = 𝔐 37 $1^2$ || 2 fin.] + και εποιησεν αυτη κυματιον χρυσουν κυκλω A = 𝔐 37 $2^2$ || 3 χρυσους] + επι τα τεσσερα μερη αυτης A = 𝔐 37 $3^{1b}$ || 5 ανωθεν A | fin.] + καθαρου A: cf. 11 || 6 και] + εποιησεν A | τους > A | χερουβειν A | χρυσους — 7 χερουβ $2^0$ > B*† || 7 init.] pr. και A† | το εν > B | το δευτ. του ιλαστ.] του ιλαστ. του δευτερου B† || 8 αυτων] + κατα προσωπον αυτων A || 10 δακτυλιους — δευτερου] δακτυλιους χρυσους δυο δακτυλιους επι το κλιτος το εν και δυο δακτυλιους επι το κλιτος το δευτερον A || 11 fin.] + καθαρω A: cf. 5 || 12 τε > A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/205 UNIVERSITÄT LEIPZIG